UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

Theodoretus <Cyrrhensis>

Mogvntiae, 1679

XXVIII. Quinam alii Monachi per ea tempora claruerint.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A σι καὶ οἱ τῆς ἀληθείας πολέμιοι. τοῦτο δὲ καὶ ἐν ἀλεξανδρείᾳ πρὸ τούτου τοῦ χρόνου πεποίηκεν ἐν τοῖς κωνσταντίου καιροῖς ἀντώνιος ὁ πάνυ. καταλιπὼν γὰρ τὴν ἔρημον, ἅπαν ἐκεῖνο περιῄει τὸ ἄστυ, διδάσκων ἅπαντας, ὡς τῆς ἀποστολικῆς διδασκαλίας κῆρυξ ἐστὶν ἀθανάσιος, καὶ ὡς ἀντίπαλοι τῆς ἀληθείας οἱ τῆς ἀρείου συμμορίας. οὕτως ᾔδεσαν οἱ θεῖοι ἄνδρες ἐκεῖνοι, τὰ πρόσφορα ἑκάστῳ προσαρμόττειν καιρῷ, καὶ ἡνίκα μὲν χρὴ τὴν ἡσυχίαν ἀσπάζεσθαι, ἡνίκα δὲ προτιμᾶν τὰς πόλεις τῆς ἐρημίας.

## Κεφ. κη'.

B

*Τίνες ἄλλοι μονάζοντες κατὰ τοῦτον τὸν καιρὸν διέπρεψαν.*

Ἦσαν δὲ καὶ ἄλλοι κατ' ἐκεῖνον τὸν καιρὸν, τὰς τῆς μοναχικῆς φιλοσοφίας ἀφιέντες μαρμαρυγάς· ἐν μὲν τῇ χαλκιδέων ἐρήμῳ, ἀβῖτος καὶ μαρκιανὸς καὶ ἀβραάμης, καὶ ἕτεροι πρὸς τούτοις οὐκ εὐαρίθμητοι, ἐν παθητοῖς σώμασι τὴν ἀπαθῆ βιοτὴν μελετῶντες· ἐν δὲ τῇ ἀπαμέων χώρᾳ, ἀγαπητὸς καὶ συμεώνης καὶ παῦλος, καὶ ἄλλοι τὴν ἄκραν φιλοσοφίαν συλλέγοντες· ἐν δὲ τῇ ζευγματέων, πούπλιος καὶ παῦλος· ἐν δὲ C τῇ κυρεστῶν, ὁ πανεύφημος ἀκεψεμᾶς ἐν οἰκίσκῳ καθειργμένος, καὶ ἑξηκοντούτην χρόνον τοῦτον ἐβίου τὸν τρόπον, οὔτε ὁρώμενος, οὔτε φθεγγόμενος. ζευγμάτιος δὲ ὁ ἀξιάγαστος, καίτοι τὸ βλέπειν ἀφῃρημένος, περιιὼν στηρίζων τὰ πρόβατα καὶ τοῖς λύκοις μαχόμενος· οὗ δὴ χάριν, αὐτοῦ τὴν ἀσκητικὴν καλύβην ἐνέπρησαν. ἀλλὰ τραϊανὸς ὁ πιστότατος στρατηγὸς, ἑτέραν ἐδείματο, καὶ τῆς ἄλλης θεραπείας μετέδωκεν. ἐν δὲ τῇ ἀντιοχέων, μαριανὸς καὶ εὐσέβιος καὶ ἀμμιανὸς, D παλλάδιός τε καὶ συμεώνης καὶ ἀβραάμης, καὶ ἄλλοι πρὸς τούτοις τὴν εἰκόνα τὴν θείαν ἀκήρατον διασώσαντες. καὶ τούτων δὲ κἀκείνων τὸν βίον ἀνάγραπτον πεποιήκαμεν· καὶ τὸ ὄρος δὲ, τὸ τῇ μεγίστῃ παρακείμενον πόλει, λειμῶσι παραπλησίοις ὡραΐζετο· καὶ γὰρ ἐν τούτῳ, πέτρος ὁ γαλάτης διέλαμπε, καὶ ὁ τούτου γε ὁμώνυμος ὁ αἰγύπτιος, καὶ ῥωμανὸς καὶ σευῆρος, καὶ ζήνων, μωσῆς τε καὶ μάλχος, καὶ ἄλλοι πλεῖστοι, παρὰ μὲν τῶν πολλῶν ἀγνοούμενοι, παρὰ δὲ τῷ θεῷ γινωσκόμενοι.

qvoqve veritatis hostes testantur. Idem porro antehac regnante Constantio, Alexandriæ præstiterat magnus Antonius. Relicta enim solitudine, totam illam urbem circuivit, cunctos admonens, Apostolicæ doctrinæ præconem esse Athanasium; Arianos verò hostes esse veritatis. Adeo divini illi viri, quid singulis temporibus congrueret, probe norant, & quando solitudinem amplecti, quando urbes præferre solitudini oporteret.

## Cap. XXIIX.

*Quinam alii monachi per ea tempora claruerint.*

Eadem tempestate, alii qvoqve monasticæ philosophiæ radiis coruscabant. In Chalcidensium quidem solitudine Avitus, Marcianus, Abraames, aliique præterea haud pauci, qui in corpore perturbationibus obnoxio, vitam perturbationis expertem agere nitebantur. In Apamensium autem regione Agapetus, Symeones, Paulus, & alii, qui perfectæ philosophiæ fructus colligebant. In Zeugmatensium territorio Publius & Paulus. In Cyrestarum agro Acepsemas ille ab omnibus laudatus, in cellula inclusus sexaginta annos ita transegit, nec visus ab ullo, nec ullum alloquens. Admirandus autem Zeugmatius, etsi luminibus orbatus, circumibat tamen oves Christi confirmans, & lupos abigens. Quam ob causam hæretici monasticum ejus tugurium incenderunt. Verùm Trajanus Magister militum, vir fidelissimus, alterum ei construxit, omniqve cura ac solicitudine eum fovit. In agro denique Antiochensium, Marianus, Eusebius, Ammianus, Palladius, Symeones, Abraames aliique præterea extiterunt, qui imaginem DEI integram atque immaculatam conservaverant. Ac nos quidem tum horum, tum illorum vitam scriptis prodidimus. Sed & mons ille, qui maximæ urbi vicinus est, similibus pratis ac floribus erat distinctus. In hoc enim claruit Petrus Galata, & alter ejusdem nominis Ægyptius: Romanus item & Severus; Zeno, Moses & Malchus, aliique complures, vulgo quidem hominum ignoti, sed DEO probe noti.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN